www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Προφήτην Ἠλίαν τὸν Θεσβίτην

Ἦχος Α'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Ἕτερος εἰς τὸν Ἅγιον Προφήτην Ἠλίαν τὸν Θεσβίτην, οὗ ἡ ἀκροστιχίς, «Θεσβίτην Ἠλίαν ὑμνολογῶ», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος α΄.**

*Ὠιδὴ Α΄ Χριστὸς γεννᾶται.*

Θεὲ Πατέρων καὶ Κύριε, καὶ Πάτερ Παντοκράτορ με φώτισον, τὴν μνήμην τοῦ σοῦ θεράποντος, ὕμνοις πανεορτίοις καὶ ἐν ᾠδαῖς, ὅπως ἀναμέλψω, ἐπαξίως Ἠλιοῦ τοῦ θεομάκαρος.

Ἐν γῇ ὡς ἄσαρκος ἄγγελος, ἐβίωσας νεκρώσας τὸ φρόνημα, σαρκὸς σεαυτὸν μακάριε, θείων ἀπεργασάμενος δεκτικόν, Ἠλιοὺ τρισμάκαρ, τῶν Θεοῦ θεωριῶν ἀξιοθαύμαστε.

Στολὴν τεχθέντα σε ἔνδοξε, ὡσεὶ πυρὸς Ἠλία ἑώρακε, Θεσβίτα περιβαλόμενον, θάμβει ὁ σὸς γεννήτωρ χαρμονικοῖς, ὕμνοις ἀνεβόα, δόξα πρέπει τῷ Θεῷ, ὅτι δεδόξασται.

*Θεοτοκίον.*

Ἰῷ Παρθένε τοῦ δράκοντος, τὴν φύσιν τῶν βροτῶν ὀλισθήσασαν, φθορᾷ τοῦ θανάτου ἔσωσας, Κόρη τοῦ Ἀρχαγγέλου τὸν ἀσπασμόν, δεξαμένη ταύτῃ, τὴν ζωὴν δωρησαμένη Θεονύμφευτε.

*Ὠιδὴ Γ´ Τῷ πρὸ τῶν αἰώνων.*

Βασιλέως ἔστης, κατενώπιον μάκαρ κελεύσει Θεοῦ, τοῦ Παντοκράτορος Προφῆτα, διελέγξας τὴν τούτου, παράνοιαν τὴν εἰδώλειον, καὶ στεναγμὸν ἀναπέμψαι Θεῷ, Σαβαὼθ κατέστησας.

Ἰσραὴλ προόπτα, Ἠλιοὺ τῷ Θεῷ συνεγένου ἀεί, ἐν ταῖς ἐρήμοις προσεδρεύων, καὶ δεινῶς καταπλήσσων, λαῶν ἡγεμόνας ἔνδοξε, ἠσεβηκότας τῷ πάντων Θεῷ, τοῖς πυρφόροις λόγοις σου.

Τῶν ἀλσῶν καὶ Βάαλ, καὶ Ἀστάρτης Ἠλία διήλεγξας, γλυπτῶν τῆς πλάνης σεβασμάτων, ἱεροῖς τῆς αἰσχύνης, Κυρίῳ τῷ Παντοκράτορι, ζηλῶν μακάριε ὡς ἀληθῶς, τῷ Θεῷ ἐζήλωσας.

*Θεοτοκίον.*

Λύτρωσιν ὁ μέγας, σοὶ Ἀρχάγγελος Κόρη προήγγειλε, ὁ Γαβριὴλ βροτῶν τῷ γένει, τῆς ἀρχαίας κατάρας, τὸ ἴδιον ὁ φιλάνθρωπος, ἀνακαλούμενος πλάσμα σαρκί, τῇ ἐκ σοῦ Θεόνυμφε.

*Ὠιδὴ Δ´ Ῥάβδος ἐκ τῆς ῥίζης.*

Ἠλιοὺ τῶν μεγαλουργιῶν, Θεοῦ τοῦ Παντοκράτορος, εὐχῆς τῷ λόγῳ πῦρ

κατήνεγκας, Προφήτα ἐξ οὐρανοῦ, τῇ θυσίᾳ σου μάκαρ, Ἰσραὴλ λαῷ τῷ τοῦ Κυρίου, κραυγάζειν παραδεικνύς, δόξα τῇ δυνάμει σου Κύριε.

Νόμισιν τῆς πλάνης ἐκτεμεῖν, ἐπείγων τὴν πανάθεσμον, ῥομφαίᾳ ἅπαντας κατέσφαξας, αἰσχύνης τοὺς ἱερεῖς, πυρπολούμενος ζήλῳ, τοῦ Θεοῦ ᾧ παρεστὼς ἐβόας, πανένδοξε Ἠλιού, δόξα τῇ δυνάμει σου Κύριε.

Τῷ παρανομοῦντι εὐσθενῶς, ἐξήγγειλας θεσπέσιε, τῶν Προφητῶν θαυμασιώτατε, τῷ ἄνακτι Ἀχαάβ, ὡς ἐν τῷ στόματί μου, οὐκ ἔστιν ὑετὸς παρὰ Κυρίου, Προφήτης γὰρ Σαβαώθ, ἐγὼ κατελήφθην μονώτατος.

*Θεοτοκίον.*

Ἀρχαγγέλου Κόρη τῇ φωνῇ, ἀσπόρως ἐν τῇ μήτρᾳ σου, Πατρὸς τὸν σύνθρονον συνέλαβες, τὸν Λόγον καὶ μητρικῶν, ἄνευθεν ὠδίνων τοῦτον, τέτοκας ἀφθόρως καὶ Παρθένος, διένειμας ὥσπερ πρίν, δόξα σοι Ἁγνὴ θεοδόξαστε.

*Ὠιδὴ Ε' Θεὸν ὢν εἰρήνης.*

Οὐρανὸν ὁ κλείσας, κελεύσει Θεοῦ, τῷ χειμάρρῳ Χορὰθ παραγέγονας, Ἠλία πανσεβάσμιε δεχόμενος τροφήν, Πάτερ ἐκ

τῶν κοράκων, διὸ πίστει αἰτοῦμεν, τὸν Χριστὸν πρεσβείαις σου, πᾶσιν ἡμῖν γενέσθαι ἵλεων.

Νεφέλαις μὴ ὕειν, τῇ γῇ ὑετούς, ὁ κελεύσας Προφήτα τῷ λόγῳ σου, ἐπομβρίσας τὸ ἔλαιον καμψάκῃ Ἠλιού, χήρας καὶ τῶν ἀλφίτων, οὐκ ἐπέλιπε ταύτῃ, χορηγία κράζουσα, Θεὲ Πατέρων πρέπει δόξα σοι.

Ἠλιοὺ τὸν μέγαν, Προφήτην πιστοί, τοῦ Κυρίου Θεοῦ Παντοκράτορος, γλυπτῶν τὸν καταρράξαντα τὰ σέβη ἐν πυρί, τοῦτον ὡς τοῦ Σωτῆρος, παρουσίας ἐν ὕμνοις, τῆς μελλούσης ἅπαντες, ἀξιοχρέως εὐφημήσωμεν.

*Θεοτοκίον.*

Ῥυσθεῖσα Παρθένε, βροτῶν διὰ σοῦ, ἐκ θανάτου ἡ φύσις φθεγξάμενος, ὁ μέγας Ἀρχιστράτηγος τὸ Χαῖρε Γαβριήλ, Χαῖρε ἀνακραυγάζων, τῆς ἀρχαίας κατάρας, τοῦ Ἀδὰμ ἡ λύτρωσις, Χαῖρε Χαρὰν ἡ ἀνατείλασα.

*Ὠιδὴ ΣΤ´ Σπλάγχνων Ἰωνᾶν.*

Λῦσιν προτυπῶν, θανάτου θεσπέσιε, τοῦ γένους βροτῶν, εὐχῇ ἀνέστησας, τὸ παιδάριον, καὶ Μητρὶ τῇ αὐτοῦ παραδέδωκας, τὴν ἀνάστασιν, Ἠλία



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

μεγαλώνυμε, ἔργῳ διαπιστωσάμενος, τοῦ Δεσπότου, σαφῶς τὴν τριήμερον.

Ἴδον Ἠλιού, τὴν δόξαν τρισόλβιε, υἱοὶ Ἰσραήλ, ᾗ ἐθαυμάστωσε, σὲ ὁ Κύριος, Σαβαὼθ ἐν πυρὶ καὶ τῷ πνεύματι, ᾧ ἐλάλησας, διόπερ αὐτῷ ἔκραζον, μόνῳ τῷ Θεῷ ἡ αἴνεσις, καὶ ἡ δόξα, ἐμπρέπει καὶ ὕμνησις.

Ἅρμα Ἰσραήλ, ἐβόα σοὶ ἔνδοξε, αὐτοῦ καὶ ἱππεύς, ἀναφερόμενον, ὡς ἑώρακεν, Ἐλισσαῖος πυρίνῳ ἐν ἅρματι, προσκτησάμενος, τὴν χάριν τὴν σὴν ἅγιε, δόξαν τῷ Θεῷ καὶ αἴνεσιν, ἀναπέμπων ἐναγαλλιώμενος.

*Θεοτοκίον.*

Ἵνα τῆς Ἐδέμ, τῆς πρὶν ἀνακτήσηται, ἡ φύσις βροτῶν, ἡ ἁμαρτήσασα, τῇ νηδύϊ σου, τῇ φωνῇ τοῦ Ἀγγέλου ἐνώκησε, ὁ συνάναρχος Πατρί τε καὶ τῷ Πνεύματι, Λόγος, ὃν τῆς παρθενίας σου, μὴ λυθείσης, Παρθένε ἐκύησας.

*Ὠιδὴ Ζ΄ Οἱ παῖδες εὐσεβείᾳ.*

Ναὸν τὴν σεαυτοῦ ψυχὴν ὡς ὄντως, Ἠλιοὺ κατέστησας τοῦ Παντοκράτορος, ἐν ὄρεσι Πάτερ διαιτώμενος, νοερῶς προσομιλῶν

αὐτῷ μακάριε, ματαιοτήτων, τοῦ βίου ὑπερόπτα.

Ὑπόπτερος ὡσεὶ ἐν τῷ Σιναίῳ, ὑπ’ Ἀγγέλου Πάτερ σιτιζόμενος, Θεὸν ἐθεάσω παμμακάριστε, ὡς ἀνθρώπῳ δυνατὸν Προφῆτα ἔνδοξε, ἀξιοχρέως οὖν πάντες σὲ ὑμνοῦμεν.

Μακάριοι ὑμεῖς ὄντως Προφῆται, Ἠλιοὺ καὶ τῷ Ἐλισσαιὲ τὴν ὑμῶν, πανέορτον μνήμην ἑορτάζοντες, τὸν τῶν Παίδων γεγηθότες ὕμνον κράζομεν, ὁ τῶν Πατέρων, Θεὸς εὐλογητός εἶ.

*Θεοτοκίον.*

Ὡς ἄμωμος Παρθένος ἐν τῇ μήτρᾳ, τὸν Θεὸν συνέλαβες ἐνωτισθεῖσα φωνήν, τὸ Χαῖρε ὁ μέγας Ἀρχιστράτηγος, μελωδῶν ὁ Γαβριὴλ προανεφώνει σοι, τὸν Σωτῆρα, τέξεις Κόρη τοῦ κόσμου.

*Ὠιδὴ Η΄ Θαύματος ὑπερφυοῦς.*

Νόμου ἐκδικῶν τοῦ θεοσδότου, Ἀχαὰβ τὸν θυμὸν ἠλογήσω, ὥσπερεὶ καὶ Ἰεζάβελ, τῶν προστατῶν, διαπτύστων σεβασμάτων διό, αἰσχύνης τοὺς μύστας ξίφει ἔνδοξε, ἐκτεμῶν καὶ Θεῷ ἀναμέλπειν προέτρεπες, σὺ εἶ Θεὸς μόνος, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ τὴν τοῦ Μονογενοῦς ἐν Θαβωρείῳ, σὺν τῷ Μωσεῖ Ἠλιοὺ θεομάκαρ, δόξαν θεασάμενος καὶ τῆς ἐξ ὕψους, τῆς Πατρικῆς, ἐνεχθείσης διακούσας φωνῆς, καὶ τῆς ἐν τῷ μέλλοντι ἐλεύσεως, τῆς δευτέρας ἐνδόξου κῆρυξ καὶ πρόδρομε, τῶν σὲ ἀνυμνούντων, Προφῆτα ὑπερεύχου.

Λόγον σὺν Πατρὶ τῷ προανάρχῳ, καὶ τῷ Πνεύματι τῷ Παναγίῳ, πίστει προσκυνήσωμεν θεολογοῦντες, ἕνα Θεόν, δοξαζόμενον προσώποις τρισί, καὶ Παίδων τὸν ὕμνον ἀναμέλψωμεν, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νεύματι τῷ θεαρχίῳ σοι Παρθένε, ὁ τῶν ἄνω Νόων πρωτοστάτης, χαῖρε προσελθὼν ὢ Κεχαριτωμένη, ἀναφωνῶν, ὁ συνάναρχος Πατρὶ μετὰ σοῦ, τῆς δόξης ὁ Κύριος ἐν μήτρᾳ σου, ἐνοικήσει καὶ κόσμῳ ὀφθήσεται, φύσεων διπλοῦς, βροτῶν εἰς σωτηρίαν.

*Ὠιδὴ Θ΄ Μυστήριον ξένον.*

Οἱ πάντες ἐν πίστει, καὶ πόθῳ συνέλθωμεν, Ἠλιοὺ τοῦ μάκαρος, θείῳ ἐν τῷ ναῷ καὶ τοῖς ὕμνοις, αὐτῷ προσφωνοῦντες, Προφῆτα Χριστοῦ ταῖς ἱκεσίαις σου, ἡμᾶς πειρασμῶν, ἐκ παντοίων διαφύλαττε.

Γηθόμενοι μνήμην, φαιδρὰν καὶ πανέορτον, Προφητῶν τελέσωμεν, πίστει τοῦ Ἠλιοὺ τοῦ ἐνδόξου, καὶ τοῦ Ἐλισσαίου, ἐνθέοις ἐν ὕμνοις καταστέφοντες, αὐτῶν κορυφήν, ἀξιοχρέως οἱ χριστεπώνυμοι.

Ὦ Πάτερ καὶ Λόγε, καὶ Πνεῦμα τὸ Ἅγιον, τῶν Πατέρων Κύριε, δέχου τῶν Προφητῶν σου δεήσεις, ὑπὲρ τῶν σῶν δούλων, ἐκτός σου γὰρ ἄλλον οὐ γινώσκομεν, εἰ μὴ σὲ ἀεί, πίστει ὑμνοῦντες μεγαλύνομεν.

*Θεοτοκίον.*

Μαρία Κυρία, ἡμῶν τῶν τὸ Ὄρος σου, Ἄθω τὸ πανεύφημον, Κόρη μοναδικῶς ἐνοικούντων, χαρᾶς ἡ αἰτία, χαρὰν ἡμῖν Ἄχραντε πρυτάνευσον, ἐχθρῶν δυσμενῶν, τὴν Ἐκκλησίαν ἀπαλλάττουσα.

*Προσόμοια.*
*Πανεύφημοι Μάρτυρες. Ἦχος α΄.*

Ἠλία Κυρίου Σαβαώθ, Προφῆτα πανένδοξε, σὲ τὸ Καρμήλιον ἤνθισε καὶ ὑπεδέξατο, σώματι τρισμάκαρ, Θεοῦ τὰ σκηνώματα, ἐν οἷς ἐνδιαιτώμενος ἅγιε, Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τῷ λόγῳ σου μάκαρ Ἠλιού, οὐρανὸν ἀπέκλεισας, καὶ πῦρ αὐτόθεν κατήνεγκας,

καὶ διεπέρασας, ξίφει τῆς αἰσχύνης, ἱερεῖς πανένδοξε, καὶ θείῳ Ἀχαὰβ τοὺς θεράποντας, πυρὶ κατέφλεξας, καὶ ἀβρόχοις Ἰορδάνεια, ῥεῖθρα Πάτερ, ποσὶ διεπέρασας.

Ζηλῶν τῷ Κυρίῳ ἐν Σινᾷ, Θεῷ Παντοκράτορι, λεπτῇ ἐν αὔρᾳ ἑώρακας, καὶ προσωμίλησας, αὐτῷ θεολέκτων, Προφητῶν ἀγλάϊσμα, καὶ ἅρματι πυρίνῳ ἀνέδραμες, πρὸς τὰ οὐράνια, καὶ Χριστῷ παρέστης ἔνδοξε, ἐν τῷ Ὄρει, Θαβὼρ τῷ Θεῷ ἡμῶν.

Προφῆταί σε ἄνωθεν φωναῖς, Παρθένε προκατήγγειλαν, ὡς ἐσομένην τοῦ κτίστου σου, Κόρη λοχεύτριαν, καὶ τοῦ τῶν ἀνθρώπων γένους ἀπολύτρωσις, ἡμεῖς δὲ τὰς ἐκβάσεις σαφέστατα, Θεοχαρίτωτε, ἑωράκαμεν καὶ πίστει Σέ, ὡς Μητέρα Θεοῦ μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ